καὶ φησίν, αἴσωπε ἆρέ μοι κληματίδας καὶ ἄναψον εἰς τὸ μέσον. ὁ δὲ ἐνέγκας ἀνῆψε πυράν. φωνήσας δὲ τὴν γυναῖκα ἤνεγκεν εἰς τὸ μέσον, ὥστε δοκεῖν καυθῆναι. διεβλέπετο δὲ τὸν ἀγροῖκον εἰ ἄρα ἐκπηδήσας κωλύσει αὐτὸν τοῦτο πρᾶξαι. ὁ δὲ ἀγροῖκος ἔλεγε καθ' ἑαυτόν, ἀλλ' οὐ μὴ φθόνος, τί οὗτος θυμοῦται. καὶ φησὶ πρὸς αὐτόν, οἰκοδέσποτα, εἰ τοῦτο κέκρικας γενέσθαι. παρακαλῶ σε μικρὸν ἀναμεῖν, ἕως κἀγὼ ἀπελθὼν ἐνέγκω μου τὴν γυναῖκα ἀπὸ τοῦ ἀγροῦ, ὅπως ἂν ὁμοῦ κατακαύσῃς τὰς δύο. ὁ δὲ ξάνθος ἀκούσας καὶ θαυμάσας τὸ τοῦ ἀνδρὸς μεγαλόψυχον ἔφη πρὸς τὸν αἴσωπον, ἰδὲ ἀληθῶς ἄνθρωπος ἀπερίεργος. αἴσωπε νενίκηκάς με, ἀρκεῖ τὸ λοιπὸν ἕως τούτου. ἀπὸ δὲ τοῦ νῦν πιστῶς καὶ εὐνοϊκῶς δούλευσόν μοι, ἵνα ἵνα τύχῃς παρ' ἐμοῦ ἐλευθερίας. ὁ δὲ φησί, πάντως, οὐκέ-